γόητες τότε κέχρηνται ἐπικλήσεσί τισι καὶ ἄγουσι τοὺς τοιούτους δαίμονας· ὃ οὖν πολὺς ἄνθρωπος οἴεται, ὅτι ἐκεῖνοι καταφέρουσι τὴν σελήνην· ἐπεὶ τοίνυν δαιμόνων ἐστὶ τότε παρουσία, κτυποῦσιν ἐν τῷ χαλκῷ· διὰ τοῦ τοιούτου κτύπου ἀποσείοντες καὶ ἀποδιώκοντες τὰς δαιμονικὰς ἐνοχλήσεις. ταῦτα μὲν οὖν εἴρηται διὰ τὸ μὴ ἀνεννοήτους ἡμᾶς εἶναι τῶν ἐθῶν τούτων.

λοιπὸν δὲ ἔλθωμεν ἡμεῖς ἐπὶ τὸ προκείμενον· ἐνταῦθα ὁρμᾷ 2
κατασκευᾶσαι, ὅτι οἱ τέσσαρες ἐκεῖνοι οἱ πολυθρύλητοι ἄνδρες οὐκ ἦσαν πολιτικοί· καὶ κέχρηται τοιούτῳ συλλογισμῷ ἐν δευτέρῳ σχήματι, ὅτι οἱ πολιτικοὶ καλοὺς κἀγαθοὺς ποιοῦσι τοὺς πολίτας, ταὐτὸν δὲ εἰπεῖν σώφρονας καὶ δικαίους· οἱ δημαγωγοὶ οὐ ποιοῦσι τοὺς πολίτας καλοὺς καὶ ἀγαθούς· οἱ πολιτικοὶ ἄρα οὐκ εἰσὶ δημαγωγοί· οἱ μέντοι τέσσαρες ἐκεῖνοι δημαγωγοὶ ἦσαν, ἐν δημοκρατίᾳ γὰρ ἦσαν. εἰ δέ τις εἴποι· καὶ μὴν ἔσωζον τοὺς πολίτας καὶ παρῄνουν παύεσθαι τοῦ ἀδικεῖν· εἰπέ, ὅτι οὐκ ἐκ τούτων ἐκρίνοντο ὡς πολιτικοί· καὶ γὰρ οἱ λῃσταὶ πρὸς ἀλλήλους τὰ δίκαια φυλάττουσι· καὶ γὰρ ἰστέον, ὅτι αὐτὴ ἡ ἀδικία, εἰ μὴ ἔχοι δικαιοσύνην, οὐ δύναται ὑποστῆναι· θέλουσι γὰρ πρὸς ἀλλήλους φυλάττειν τὸ δίκαιον, ἵνα συμφράξωνται. αὐτοὶ τοίνυν οἱ λῃσταὶ ἴσασιν, ποῦ μὲν ὀφείλουσιν ἐπεμβῆναι, ποῦ δὲ οὔ· ἔστι γ' οὖν ἀκοῦσαι αὐτῶν, ὅτι εἰ θελήσωμεν τῷδε ἐπελθεῖν, δυνατός ἐστι καὶ μὴ φονεύσῃ ἡμᾶς, παυσώμεθα οὖν τούτου. οὕτω τοίνυν καὶ οὗτοι οἱ τέσσαρες σκοποῦντες, ποῖοι μὲν οἱ ἰσχυρότεροι, ποῖοι δὲ οἱ ἀσθενέστεροι, τοὺς μὲν ἰσχυροτέρους οὐκ ἤθελον ἀδικεῖν, ἐπεὶ μηδὲ ἠδύναντο, τοῖς μέντοι ἀσθενεστέροις ἐπέβαινον· δεῖ τοίνυν πανταχοῦ 3
πολιτικὸν εἶναι καὶ τοῦ ἀγαθοῦ ἀντιποιεῖσθαι καὶ ἐπιπλήττειν τοῖς κακῶς πολιτευομένοις. οὕτω γ' οὖν ἐν τοῖς Νόμοις πρὸς τὸν Λάκωνα διαλεγόμενος ἐπιπλήττει· εἰρηκότος γὰρ τοῦ Λάκωνος, ὅτι ἡ ἡμετέρα πολιτεία θαυμαστή ἐστιν· ἀεὶ γὰρ ἐν

---

28 Plat. legg. I 636 b

---

14 mg. ἀπορία  16 mg. λύσις  17 mg. ὅτι καὶ ἡ ἀδικία εἰ μὴ δικαιοσύνῃ χρήσηται οὐκ ἂν ὑποσταίη

---

4 χαλκῷ] seqq. ÷ ÷ in ras. M  8 πολυθρύλητοι] -υ-λ- in ras. M  24 ἰσχυρότεροι] -ό- in ras. M  25 ἰσχυροτέρους] -ο- in ras. M